eul_wid: hmg-ab

*Κρατῖνος ὁ Νεώτερος* · Cratinus the Younger

# Fragments of Comic Dialogue

*Ἀποσπάσματα Κωμικοῦ Διαλόγου*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Ἐνθυμεῖσθε τῆς γῆς ὡς γλυκύ ὄζει, καπνός τ' ἐξέρχετ' εὐωδέστερος; οἰκεῖ τις ὡς ἔοικεν ἐν τῷ χάσματι λιβανωτοπώλης ἢ μάγειρος

book 1.2 Σικελικός.[ln_5][παραπλησίαν ὀσμὴν λέγεις ἀμφοῖν γλυκύς.]

book 2.1 Ὡς

book 2.2 σφοδρῶς Αἰγυπτιώδης, Σωχάρης, Παλμύλης.

book 1 Πίνειν μένοντα τὸν καλῶς εὐδαίμονα κρεῖττον· μάχαι δ' ἄλλοισι καὶ πόνοι μέλοι.

book 2 Ὑμεῖς δ' ἐὰν ἱππίσκον ἢ τρίμιτον ἔχητε.

book 1.1 Ἔθος ἐστὶν αὐτοῖς, ἄν

book 1.2 τιν' ἰδιώτην

book 1.3 ποθέν λάβωσιν εἰσελθόντα, διαπειρώμενον τῆς τῶν λόγων ῥώμης, ταράττειν καὶ κυκᾶν

book 1.4 τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς

book 1.5 παρισώμασιν,[ln_5]τοῖς ἀποπλάνοις, τοῖς μεγέθεσιν νουβυστικῶς.

book 1.1 Κόρυδον τὸν

book 1.2 χαλκοτύπον

book 1.3 πεφύλαξο, ἢν μὴ σοὶ νομιεῖς αὐτὸν μηδὲν καταλείψειν, μηδ' ὄψον κοινῇ μετὰ τούτου πώποτε δαίσῃ τοῦ Κορύδου· προλέγω

book 1.4 σοι· ἔχει γὰρ

book 1.5 χεῖρα κραταιάν,[ln_5]χαλκῆν, ἀκάματον, πολὺ κρείττω

book 1.6 τοῦ πυρὸς αὐτοῦ.

book 1.1 Πολλοστῷ δ' ἔτει ἐκ τῶν

book 1.2 πολεμίων οἴκαδ' ἥκων, ξυγγενεῖς καὶ φράτερας καὶ δημότας εὑρὼν μόλις, εἰς τὸ κυλικεῖον ἐνεγράφην· Ζεὺς ἔστι μοι[ln_5]ἑρκεῖος, ἔστι

book 1.3 φράτριος, τὰ τέλη

book 1.4 τελῶ.

book 1.1 [spk_β]Ἄνθρωπος εἶ δηλονότι καὶ ψυχὴν ἔχεις; Β. κατὰ μὲν

book 1.2

Πλάτων’ οὐκ οἶδ’, ὑπονοῶ δ’ ὧδ’ ἔχειν.

book 1.1 Εἰς ἐγγύας

book 1.2 τρεῖς εἰσπεσὼν ἀνῃρέθην.

book 1 [spk_β]Β. οὔπω τότ’ ἐν Δελφοῖσιν ἦν τὰ γράμματα τὴν ἐγγύην ἄτην λέγοντ’; Α. ἦν· ἀλλ’ ἐγώ φιλέταιρον εἶχον ἦθος.

book 2 Καρῖδας ἡ ζὰψ ἐκφέρει κἰχθύδια.

book 3 Παρ’ Ἀρχεφῶντος ἡδυπότια δώδεκα.

Eulogikon public reading copy · View original HTML at eulogikon.org